Σχόλια. Τί ταῦτ' ἔχων στραγγεύομαι.] διατί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι. στράγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς χολῆ κατιὼν σταλαγμός.

Bisetus. Ἄλλως.] στραγγεύομαι κατὰ τὸν Σουίδαν, μεταφορικῶς, ἀντὶ τοῦ ἀναβάλλομαι, διατρίβω, παρέλκω, μέλλω, ἀναδύομαι.

Σχόλια. Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν.] ἀλλ' οὐκ ἔχομαι τῶν ἐγνωσμένων. τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν Σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων, κόπτειν λέγουσιν. ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. ἱκανῶς δὲ διέστειλε Μένανδρος. ἐπὶ μὲν τοῦ ἔξω, κόψω τὴν θύραν εἰπών. ἐπὶ δὲ τοῦ ἔσω, ἐψόφηκε τὴν θύραν ἐξιών. Βάλλ' ἐς κόρακας.] ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη. ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρακῶν γενομένοις, εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δ' ἐν Θετταλίᾳ περὶ τὸν Παγασα- A τικὸν κόλπον εἶδον περιϊπταμένους τοὺς τοῦ ἡλίου ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης. καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες, ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἐκ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις, ἐπιτηρεῖ τὰ πτώματα. Ζηνόδοτος δὲ ὁ τὰς Ταρραίου καὶ Διδύμου παροιμίας ἐπιτεμών, Βοιωτοῖς φησὶν Ἄρνην ποτὲ διοικοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοί, ἐταράχθησαν, ὡς B τῆς μαντείας λαβούσης τὸ τέλος, καὶ φοβηθέντες οἱ νεανίσκοι, τὸν θόρυβον φυγόντες, ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν κόρακας. μετὰ δὲ ταῦτα, ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν. καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς κόρακας καλουμένους.

Bisetus. Τὸ δὲ βάλλ' εἰς κόρακας, ἐλλειπτικῶς εἴρηται, ἀντὶ τοῦ σαυτὸν ἐς κόρακας βάλλε.

Στρ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.

Μα. Ἀμαθής γε νὴ Δί' ὅστις οὑτωσὶ σφόδρα
Ἀπεριμερίμνως τὴν θύραν λελάκτικας.
Καὶ φροντίδ' ἐξήμβλωκας ἐξηυρημένην.

Στρ. Σύγγνωθί μοι. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
Ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.

Μα. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν.

Στρ. Λέγε νῦν ἐμοὶ θαῤῥῶν. ἐγὼ γὰρ οὑτοσὶ,
Ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.

Μα. Λέξω. νομίσαι δὲ σε ταῦτα χρὴ μυστήρια.
Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης,
Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας.

C

*SI. Phidonis gnatus Strepsiades Cicynnius.*

*DI. Ineptus per Iouem: qui tàm grauiter fores*
*Calcibus impetiisti, nihil considerans.*
*Nam cogitationem quandam animo meo*
*Conceptam, abortire assultu facis tuo.*

*SI. Ignosce mihi: nam procul huc aduenio ex agro.*
*Sed age, tu dic mihi, quid illud sit rei,*
*Quod feci abortire nimio assultu meo?*

D *DI. Non licet hoc, nisi solis discipulis proloqui.*

*ST. Loquere audacter: nam & ego in hunc literarium*
*Aduenio ludum, discipulus vt iam siem.*

*DI. Dicam: sed oportet habere hæc pro mysteriis.*
*Modò Chærophontem interrogabat Socrates,*
E *Quot aliquis pulex saltaret pedes suos.*

Σχόλια. Κικυννόθεν.] ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς Κικύννα ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνεια. Ἀμαθής γε νὴ Δία.] ἰδιώτης καὶ ἀπαίδευτος. Ἀπεριμερίμνως.] ἀμαθῶς καὶ ἀπείρως καὶ ἀνεπιστημόνως. τὸ δὲ λελάκτικας, σφοδρότητος καὶ βίας σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενον. οὐ δὲ γὰρ πρὸς φιλοσόφου τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν. τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας. Ἐξήμβλωκας.] ἐξέωσας. ἐξέβαλες. ἐξαμβλῶσαι δὲ ἰδίως, ἐπὶ τῶν γυναικῶν λέγεται ἀπὸ τῶν τικτουσῶν θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον, καὶ φάρμακον ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν. ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα. ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτοὺς ὡς προεῖπεν. τοῦ δὲ Σωκράτους λέγοντος ὅτι τέχνην ἔχω τὴν μαιευτικήν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτον νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας. Τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.) ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς. πρὸς τὸ σχῆμα, ὅτι αὐτοῦ ἀγρῶν ἐστι πόῤῥω τῆς πόλεως. ἄδηλον δὲ πότερον λέγει. πόῤῥω τῶν ἀγροίκων αὐτὸς κατοικεῖν, ἢ τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι λέγεται. γὰρ αὐτὸ παρὰ τὸ Εὐριπίδιον. τηλοῦ γὰρ οἴκων, βίοτον ἐξιδρυσάμην. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν.) ἀλλ' οὐ δυνατόν. δηλονότι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν. Ἀνήρετ' ἄρτι.) ἐπύθετο. ἀνηρώτησεν. ἄρτι δὲ ἀντὶ τοῦ ἐξυπογύου, ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας. διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται, καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν. F Χαιρεφῶντα.] τῶν πάνυ γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν Σωκράτην συνάγοντα αὐτοὺς, λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν. οὐδὲ χειρῶν οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθὼ δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν,

Σοφὸς Σοφοκλῆς. σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων, Σωκράτης σοφώτατος.

G Τοῦτον τὸν χρησμὸν ὁμολογοῦσιν ἔν τῇ κατὰ φιλοσόφων, ψεύδεσθαί φησι τὴν Πυθίαν. τοὺς γὰρ φυσικοὺς χρησμοὺς, ἐξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρά κωμικῶν τινί. τῇ συγκεχωρῆσθαι τῷ χρησμῷ δύναται. ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους χρησμοί. οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, τὸ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸν Πύθιον οὕτω, παρήσω λέγειν, ἀλλὰ τῶν ἀρχαίων παράδειγματος ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπὶ τῷ φέρεται